# ΔΙΑΛΟΓΟΣ
## ΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΜΙΧΑΗΛ Γ'. ΤΟΥ ΑΓΧΙΑΛΟΥ ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ ΤΟΥ ΒΥΖΑΝΤΙΟΥ ΜΑΝΟΥΗΛ Α'. ΚΟΜΝΗΝΟΝ

Ἐν τῷ ὑπ' ἀριθμὸν 1379 χειρογράφῳ τῆς ἐθνικῆς ἡμῶν βιβλιοθήκης [1] εὕρηται, μεταξὺ ἄλλων, καὶ ὁ ἀνέκδοτος διάλογος [2] τοῦ Μιχαὴλ Γ'. τοῦ Ἀγχιάλου[3] πρὸς τὸν Μανουὴλ Α'. Κομνηνόν, φέρων ἐπιγραφὴν «Διάλογος, ὅν ἐποίησεν ὁ ἁγιώτατος καὶ σοφώτατος Πατριάρχης Κωνσταντινουπόλεως κὺρ Μιχαὴλ ὁ Ἀγχιάλου πρὸς τὸν εὐσεβέστατον πορφυρογέννητον βασιλέα κῦριν Μανουὴλ τὸν Κομνηνὸν περὶ τῆς τῶν Λατίνων ὑποθέσεως» ὅτε πολλοὶ τῶν ὑπὸ τὸν Πάπαν ἀρχιερέων καὶ ἐπισκόπων καὶ φρερίων εἰς τὴν Κωνσταντινούπολιν κατέλαβον τὰς ἐκκλησίας ζητοῦντες τὴν ἕνωσιν καὶ μηδὲν ἕτερον ἀπὸ τοὺς Γραικοὺς ἀπαιτοῦντες ἢ παραχωρῆσαι τῷ Πάπα τῶν πρωτείων καὶ τῆς ἐκκλήτου, δοῦναι δὲ τούτῳ καὶ τὸ μνημόσυνον» καὶ καταλαμβάνων τὰ φύλλα 438α—444β τοῦ κώδικος τούτου.

---

[1] Πρβλ. Σακκελίωνος, «Κατάλογος τῶν χειρογράφων τῆς ἐθνικῆς βιβλιοθήκης τῆς Ἑλλάδος» σελ. 250—251.

[2] Μικρά τινα μόνον ἀποσπάσματα τοῦ διαλόγου τούτου ἔχουσι δημοσιευθῆ ὑπὸ τοῦ Λέοντος Ἀλλατίου ἐν τῷ ἔργῳ αὐτοῦ «De ecclessiae occid. atque orient. perpetua consensione», σ. 526. 555. 664. Πρβλ. καὶ Ἀ. Παπαδοπούλου Κεραμέως ἐν Byz. Zeitschrift, τόμ. 8, σ. 665—666.

[3] Περὶ τοῦ βίου καὶ τῶν ἔργων τοῦ Μιχαὴλ Γ'. τοῦ Ἀγχιάλου, τοῦ πατριαρχεύσαντος ἐν Κωνσταντινουπόλει ἀπὸ τοῦ 1169—1177. πρβλ. Μανουὴλ Γεδεών, «Πατριαρχικοὶ πίνακες», σελ. 365—368. Τοῦ αὐτοῦ, «Κανονικαὶ διατάξεις», τόμ. Β', σ. 24—33. Ζαχαρία Μαθᾶ, Κατάλογος ἱστορικὸς τῶν πρώτων ἐπισκόπων καὶ τῶν ἐφεξῆς πατριαρχῶν τῆς ἐν Κωνσταντινουπόλει ἁγίας καὶ μεγάλης τοῦ Χριστοῦ ἐκκλησίας, σ. 75—76. Ἀνδρονίκου Δημητρακοπούλου, «Ὀρθόδοξος Ἑλλάς», σ. 30—31. Τοῦ αὐτοῦ, «Ἱστορία τοῦ σχίσματος», σ. 32—33. Κρουμβάχερ, «Ἱστορια τῆς βυζαντινῆς λογοτεχνίας» κατὰ μετάφρασιν Γ. Σωτηριάδου, τόμ. Α', σ. 175 καὶ τόμ. Β', σ. 133, 137 καὶ 408. Byzant. Zeitschrift, τόμ. 5, 251. 6, 613. 8, 665 καὶ 11, 74—78. Πατρολογία Migne, τόμ. 119, σ. 788—796. Νικοδήμου Μίλας, «Ἐκκλησιαστικὸν δίκαιον» κατὰ μετάφρασιν Μελετίου Ἀποστολοπούλου, σ. 161 καὶ 260.

Institutional Repository - Library & Information Centre - University of Thessaly
13/05/2024 00:06:14 EEST - 18.221.83.60

Ὁ διάλογος οὗτος εὕρηται καὶ ἐν τῷ ὑπ' ἀριθμὸν 3808 χειρογράφῳ τῆς μονῆς Διονυσίου τοῦ Ἄθωνος[1] καὶ ἐν ἄλλοις τισὶ χειρογράφοις[2].

Ὁ διάλογος οὗτος τοῦ Μιχαὴλ Γ'. τοῦ Ἀγχιάλου μετὰ τοῦ αὐτοκράτορος Μανουὴλ Α'. τοῦ Κομνηνοῦ, ὅστις, ὡς γνωστόν, οὐ μόνον ἐκ λόγων ἐπιγαμίας καὶ φιλίας πρὸς τοὺς Φράγκους, ἀλλὰ καὶ πολιτικῶν διέκειτο εὐμενῶς πρὸς τὴν ἕνωσιν τῆς ἀνατολικῆς ἐκκλησίας μετὰ τῆς δυτικῆς, ἐγένετο ἐνώπιον τῆς συνόδου, ἥτις, πεισθέντος ἐν τέλει τοῦ αὐτοκράτορος περὶ τοῦ ἀτόπου τῆς ἑνώσεως καὶ ὑπὸ τὴν μορφὴν τῆς οὐνίας, ἐπευφήμησε τόν τε πατριάρχην καὶ τὸν αὐτοκράτορα.

Ὁ διάλογος οὗτος, ὅστις πιθανῶς ἐγένετο τῷ 1170 ἢ 1171, εἶναι ἄξιος δημοσιεύσεως ὡς δεικνύων τὸ φρόνημα τῆς ἀνατολικῆς ἐκκλησίας κατὰ τὸν δωδέκατον αἰῶνα περὶ τῆς οὐνίας καὶ τὰ ἐπιχειρήματα, ἅτινα ἔφερεν ἐκείνη κατ' αὐτῆς.

Κατωτέρω ἐκδίδων τοῦτον ἐπὶ τῇ βάσει τῶν κωδίκων Ἀθηναϊκοῦ ὑπ' ἀριθμὸν 1379 καὶ τῆς μονῆς Διονυσίου τοῦ Ἄθωνος ὑπ' ἀριθμὸν 3808 παρατηρῶ ὅτι αἱ μεταξὺ αὐτῶν διαφοραὶ εἶναι ἐλάχισται καὶ ἀνάξιαι λόγου.

***Διάλογος, ὃν ἐποίησεν ὁ ἁγιώτατος καὶ σοφώτατος Πατριάρχης Κωνσταντινουπόλεως κὺρ Μιχαὴλ ὁ Ἀγχιάλου πρὸς τὸν εὐσεβέστατον πορφυρογέννητον βασιλέα κῦριν Μιχαὴλ τὸν Κομνηνὸν περὶ τῆς τῶν Λατίνων ὑποθέσεως, ὅτε πολλοὶ τῶν ὑπὸ τὸν Πάπαν ἀρχιερέων καὶ ἐπισκόπων καὶ φρερίων εἰς τὴν Κωνσταντινούπολιν κατέλαβον τὰς ἐκκλησίας ζητοῦντες τὴν ἕνωσιν καὶ μηδὲν τι ἕτερον ἀπὸ τοὺς Γραικοὺς ἀπαιτοῦντες ἢ παραχωρῆσαι τῷ Πάπᾳ τῶν πρωτείων καὶ τῆς ἐκκλήτου, δοῦναι δὲ τούτῳ καὶ τὸ μνημόσυνον.***

Ὁ Πατριάρχης. Τίνα ταῦτα, θειότατε Βασιλεῦ;

Ὁ Βασιλεύς. Τίνα ταῦτα; Τὴν εἰρήνην ἐπιζητῶ καὶ τῶν ἀπὸ Χριστοῦ καλουμένων ἐπισπεύδω τὴν ἕνωσιν οὐκ ἄτοπά τινα προβαλλόμενος οὐδὲ τοῦ εἰκότος πόρρω φερόμενος, ἀλλ' ἐκεῖνα θέλω μετέρχεσθαι, ἃ κατηγορίαν μὲν οὐδεμίαν, ἔπαινον δὲ μέγαν τοῖς κοτορθώσασι προξενήσουσιν. Οὐδὲ γάρ, οὐδὲ δέον ἡγοῦμαι τὴν ἐκκλησίαν διῃρημένην περιορᾶν, ὅπερ, οἶμαι, καί τις τῶν προφητῶν περιπαθῶς ἀποκλαιόμενος ἀνεφθέγγετο, διη-

---

[1] Πρβλ. Σπυρ. Λάμπρου. Κατάλογος τῶν ἐν ταῖς βιβλιοθήκαις τοῦ ἁγίου Ὄρους Ἑλληνικῶν κωδίκων, τόμ. Α', σ. 393 (34 φύλ. 73α—87β).

[2] Πρβλ. E. Miller, Catalogue des manuscrits grecs de la bibliothèque de l'Escurial» (Paris 1848), σ. 503. Πρβλ. ἔτι «Byzant. Zeitschrift», τόμ. 8, σ. 665 ἑξ.

Institutional Repository - Library & Information Centre - University of Thessaly
13/05/2024 00:06:14 EEST - 18.221.83.60

ρέθη λέγων τὸ ὄρος τῶν Ἐλαιῶν καὶ μέγα χάσμα τὸ μεταξὺ καὶ οὐκ ἔστιν οὐδείς, ὅστις ἐργάσαιτ' ἂν τὴν συνάφειαν.

Ὁ Πατριάρχης. Ἐκεῖνο δὴ τοῦτο τῆς παροιμίας ὁρῶ, ἄλλα μὲν ὄντα τῆς ἀληθείας τὰ πράγματα, ἄλλα δὲ δοκοῦντα τυγχάνειν, εἴ τις οὐ σκοπεῖ κατ' ἀκρίβειαν, καὶ βρωμάτων καὶ πομάτων οὐδὲν διενηνοχότα, ἔσωθεν μὲν κρυπτόντων τὸ δηλητήριον, ἐκτὸς δὲ καί τι γλυκάζον ἐπιδεικνύντων καὶ οὕτω τῶν μὲν προσιεμένων τὰ τῆς τροφῆς νουνεχῶς τῷ ἥδεῖ μὲν κλεπτόντων τὴν αἴσθησιν, τῷ μὴ φαινομένῳ δὲ τοῦ κακοῦ κατάγοντος εἰς θάνατον, ἢ καὶ φαρμάκοις παρεοικότα οὐκ εὐθὺς τὴν βλάβην ἀναδιδοῦσιν, ἀλλ' εἰς τὸ μέλλον ἀποτηροῦσι καὶ μετὰ καιρὸν τὴν βλάβην ἐπάγουσιν. Ἴσως γὰρ ἄν τις ὑπολαμβάνῃ κἂν τοῖς παροῦσι πρὸς τὸ μηδὲν ἀνοίας παρέχει καὶ μεγάλην συνεισφέρει τὴν λυσιτέλειαν. Ἔχει δὲ ὡς καὶ ἑτέρως ἄν τις παρακύπτειν θέλῃ βαθύτερον καὶ μὴ κατοπτεύειν μόνον τὴν ἐπιφάνειαν· τήν τε γὰρ εἰρήνην, δι' ἣν σπουδαστέον τοὖργον ἀξιοῦσί τινες, οὐ μᾶλλον ἢ τὴν μάχην εἰσάγει, διαιρεῖται οὐχ' ἧττον, εἴπερ ἑνοῖ, οὐ μόνον ἀπ' ἀλλήλων τοὺς πνευματικοὺς ἀδελφούς, ἀλλ' ἤδη καὶ τῶν ἁγίων καὶ τοῦ δεσπότου Χριστοῦ καὶ περὶ αὐτὸ τὸ σέβας οἱ τὰ τοιαῦτα ἐπιχειρήσαντες σφαλήσονται.

Ὁ Βασιλεύς. Πῶς δ' ἄν τις, εἰπέ, καὶ παραβλαβείη τι τῶν ὀρθῶν δογμάτων κατ' οὐδὲν ἀφιστάμενος, μηδὲ τῶν πατρικῶν παραδόσεων οὐδὲ τὸ οἱονοῦν ἐναλλάττων, μηδὲ τῶν κανόνων οὐκ ἀπεχόμενος, μόνων δὲ τῶν πρωτείων καὶ τῆς ἐκκλήτου τῷ Πάπα παραχωρῶν, ἵνα πρὸς ὁμόνοιαν ἐπαγάγῃ καὶ πρὸς εἰρηναίαν σύμβασιν ἐφελκύσηται;

Ὁ Πατριάρχης. Ὡς εὖγέ σοι τούτων τῶν λόγων, ἀλλ' οὐκ ἂν εἴποις ὡς συνίστασθαι δύνανται· τῶν γὰρ ἐναντίων τὰ ἄμεσα ἀπεῖναι μὲν ἴσως ἐνδέχεται καὶ ἀμφότερα, παρεῖναι δὲ οὐκ ἂν δέξεταί ποτε· ἀνάγκη γὰρ πᾶσα θἄτερον οἴχεσθαι. Ἢ τοίνυν τὰς πατερικὰς βούλου διατηρεῖν διατυπώσεις καὶ παρατηρεῖν καὶ ὃ ἐκεῖναι κατακρίνουσιν ἀποστράφηθι ἢ τοὺς ὑπ' αὐτῶν δεδιωγμένους παραδεξάμενος γνῶθι τὰ θεῖα πόρρω θέμενος, οὐδεὶς δ' ἄλλος μᾶλλον τοῦ Πάπα παρὰ τῶν κανόνων τῶν ἐκκλησιαστικῶν ἐξωστράκισται. Ἢ τίς ἄν, εἰπέ, τὸν ἀποδεσποτοῦντα τοῦ σοῦ κράτους καὶ πρὸς τὴν σὴν μεγαλειότητα καθυβρίζοντα οὐ κακῶς πράττειν ὁμολογῶν, πρὸς δὲ τὸ ἐκείνου μέρος τιθέμενος, σὸς φίλος ἔσται καὶ τοῖς εὐγνωμονοῦσι συναρίθμιος γένηται; Εἰ δὲ σὺ θνητὸς γεγονώς, φύσει γάρ που τοὺς προσκολλωμένους τοῖς ἀποστάταις ἀποδιώκεις, τί χρὴ λέγειν περὶ Θεοῦ, ὅς οὐκ ἂν ἵλεως ἐφορᾷ τοῖς συγχωροῦσι τοῖς εἰς αὐτὸν ὑβρισταῖς;

Ὁ Βασιλεύς. Οὐκοῦν ἐκεῖνοι πρὸς τὸ θεῖον ὑβρίζουσιν;

Ὁ Πατριάρχης· Καὶ πάνυ μενοῦν.

Ὁ Βασιλεύς. Ἡ δὲ ὕβρις οἵα;

Ὁ Πατριάρχης. Μεγίστη μὲν οὖν καὶ ἧς οὐκ ἂν εὑρήσοι τις χείρονα·

Institutional Repository - Library & Information Centre - University of Thessaly
13/05/2024 00:06:14 EEST - 18.221.83.60

Ὁ Βασιλεύς. Τί δὲ οὐχὶ καὶ ἡμῖν ταύτην ἀποκαλύψειας;

Ὁ Πατριάρχης. Προθύμως.

Ὁ Βασιλεύς. Λέγε λοιπὸν καὶ γὰρ ἡμεῖς προθύμως ἀκούσομεν, χαρίζοιο δ' ἂν καὶ τῷ θείῳ τῷ μὴ εἰδότι μέχρι τοῦ νῦν τοὺς ἐχθροὺς ἐκείνου παραδηλῶν.

Ὁ Πατριάρχης. Ἔρομαί σε τοίνυν βραχύτατα, σὺ δέ μοι δὸς τὴν ἀπόκρισιν. Ἀνήρ τις τῶν τὰ μέγιστα παρὰ σοῦ δυνάμενος στρατηγὸς αὐτοκράτωρ εἰς Σικελίαν ἢ ἀλλαχοῦ που τετίμητο τῶν σῶν πάντως ὀφείλων προσταγμάτων ἐξέχεσθαι, ὁ δὲ τὰ ἐκεῖσε καταλαβὼν τοῦ δεδωκότος τὴν ἀξίαν ἐπιλαθόμενος, αὐτὸς δ' ἦσθα σύ, τὰ βουλητέα πάντα ποιεῖ ἐξ ἐναντίας διαπραττόμενος καὶ μηδὲν ἢ μικρὰ τῶν σῶν θεσπισμάτων ἐπιστρεφόμενος, ἐντεῦθεν δ' ἄρα καὶ τοῖς ἐχθροῖς ὑπῆρξε τῶν Ρωμαίων περιγενέσθαι καὶ τῶν ἐκεῖσε πάντων τὴν ἀρχὴν κατακτήσασθαι. Τί γοῦν σοι λογιστέον περὶ τοῦ πράγματος; Οὐχ ὕβρις ἀτεχνῶς ταῦτα τοῦ τῆς ἀρχῆς διαδήματος;

Ὁ Βασιλεύς. Τὶ λέγεις ὕβρις, ἀλλ' ὅ τι κάκιον ἔπαγε. Πῶς δ' ἂν ἁρμόζει πρὸς τὸ προκείμενον;

Ὁ Πατριάρχης. Ἐλεγχθήσεται τὸ γένος τῶν Ἰταλῶν, ὁπόσον καθορᾶται τοῦ βήματος. Ἴσασι πάντες ὁπόσην χρεωστεῖται τῶν τοῦ Θεοῦ εὐαγγελικῶν κελευσμάτων ἔχειν τὴν παρατήρησιν, ἀλλὰ τούτων φροντίζον βραχέα, τῶν τοῦ Χριστοῦ, ἀντεισάγει τὰ ἑαυτοῦ καὶ δόγματά τινα παρεισφέρει τῆς εὐσεβείας ἀντίμαχα μηδὲ τὸ παράπαν ἐρυθριῶν. Εἰς λόγους μὲν τοῦ Σωτῆρος παραβαίνειν κεκινδυνεύκασι, λόγους δὲ τοῦ θείου παραχαράττουσι Πνεύματος· τὰ γὰρ τῶν Πατέρων τοῦ Πνεύματος, ἐπεὶ καὶ συνεργίᾳ τοῦ Πνεύματος, ὥσπερ ἂν εἴ τι διορθοῦν ἔδει τὸν τῆς σοφίας δημιουργόν, ὃ καὶ χαμαιζήλοις ἀνθρώποις κατὰ τῶν δεσποτῶν τολμᾶν ἀπηγόρευται. Τῆς δὲ τοιαύτης φήμης διαδοθείσης ἁπανταχοῦ καὶ τῶν ἀνόμων νομίμων κραταιωθέντων ἁπανταχοῦ ἐπὶ πολὺ ὅσα τις νόσος εὐπετῶς μεταπίπτουσα κἀκ τῶν ἐχόντων ἄλλοις ἐπεισπηδῶσα κατὰ μετάδοσιν τῷ παλαιοτάτῳ τῆς κακίας δημιουργῷ οὐκ ὀλίγον μέρος ἀποκερδαίνειν τῆς ἰταλικῆς ἐκκλησίας ἐγένετο, καθάπερ καί τισι λύκοις, ὁπόταν τῶν ποιμένων τὸ ἀμελὲς εἰς φθορὰν παραπέμπει τὰ θρέμματα εἰς κόρον ἐπαπολαύειν ἐξέσται τῶν ῥιπτουμένων κρεῶν. Πῶς γοῦν οὐχ ὕβρις ταῦτα Θεοῦ ἀντινομοθετεῖν πειρᾶσθαι ταῖς αὐτοῦ διατάξεσι καὶ οὓς αὐτὸς ἐξηγόρασεν ὑπὸ δουλείαν ἄγειν τῆς πλάνης καὶ τῆς ἐλευθερίας ἀλλοτριοῦν; Καὶ ταῦτα μηδὲ ἁπλῶς οὕτω τὸν ζυγὸν ἀπορρίψαντος, ἀλλ' αἵματος ἀντιδόσει δεσποτικοῦ τὸ φῶς ἀπολαβόντας ἐλεύθερον καὶ τὸν τοῦ σκότους ἀποσεισαμένους προστάτην, ᾧ καὶ κατείχοντο.

Ἡ Σύνοδος. Εὖ πάνυ λέγεις καὶ οὐδ' ἂν εἷς οἶμαι τοῖς εἰρημένοις ἀντιφέρεσθαι δύναται.

Institutional Repository - Library & Information Centre - University of Thessaly
13/05/2024 00:06:14 EEST - 18.221.83.60

Ὁ Βασιλεύς. Καὶ ποῦ θήσεις τὰ τῆς μακροθυμίας, ὦ πατριαρχῶν ἁγιώτατε, ἢ πῶς οὐχὶ καὶ τὴν θείαν δέδοικας δίκην τοὺς ἀδελφοὺς ἀποτόμως ἀπορρηγνύς; Εὐκόλως λοιπὸν ἡμᾶς ἕξεις πρὸς τὴν παράκλησιν πειθομένους, εἴ τισιν ἀφιέναι καθικετεύεις κἂν ποῦ τι καὶ ἡμάρτωσαν αὐτὸς μηδὲν μηδόλως τοῖς ὁμοτίμοις ὑπενδοῦναι βουλόμενος.

Ὁ Πατριάρχης. Εἰ μὲν ἦν ἀνθρωπίνῃ φύσει τὴν θείαν ὑπερβάλλεσθαι χρηστότητα, πάροδον ἂν ἐκέκτητο τὰ λεγόμενα, νυνὶ δέ τίς ἄνοια εἰς τόσον ἐλήλακεν ὡς τὴν πηγαίαν πάσης φιλανθρωπίας καὶ ἀγαθότητος ὑπερβῆναι θελῆσαι ἢ καὶ ὁπωσοῦν ἐξισάζεσθαι καὶ ταῦτα μὴ ὅπως τοῦ εἰκότος ἐπανιέναι, ἀλλ' οὐδὲ τοῦ δικαίου προστῆναι, καθὼς ἐνδέχεται δυναμένην εἶναι τὴν φύσιν διαγορευόντων τῶν προφητῶν· πᾶσα γάρ φησι δικαιοσύνη ἀνθρώπων ὡς ῥάκος ἀποκαθημένης. Εἰ τοίνυν ὁ Κύριος οὐκ ἀφίησι τοῖς βλασφημοῦσι περὶ τὸ Πνεῦμα, ὡς ἐκ τοῦ Εὐαγγελίου διδάσκομαι, πῶς ἂν ἀφήσω αὐτὸς καίτοι παρ' ἐκείνου τὸ ἀφιέναι λαβὼν ἢ πάντως τὴν ἄνωθεν μῆνιν πρὸς ἐμαυτὸν ἐκκαλέσομαι ὑπὲρ τὰ δέοντα χρηστευόμενος; Πιστοῦταί μοι τὸν λόγον Σαοὺλ τῶν Παλαιστιναίων οὐκ ἀποκτείνας τὸν ἄρχοντα καὶ διὰ τοῦτο τῆς θείας εὐμενείας στερούμενος, ἀδελφῶν δὲ προθυμίᾳ ἂν ἀποσταίην, εἰ τοῦ πατρὸς ἐκεῖνοι κατεξανέστησαν ἢ συνεμισήθην ἂν καὶ αὐτὸς τοῖς τοὺς τεκόντας ὑβρίζουσιν. Ἀλλὰ γὰρ ἐκεῖνοι μὲν ἀποστρέφοιντο, ἂν θελητὸν καὶ κατ' ἐμοῦ μηχανάσθωσαν, ἀγαπῴη δ' ἂν ὁ γεννήσας ἢ μᾶλλον ἀναγεννήσας διὰ τῆς χάριτος κἀκεῖνος μὲν Ἠσαῦ ἐβδελυγμένος καὶ πρὸ γεννήσεως, ἐγὼ δὲ Ἰακὼβ λογισθείην τὴν εὐλογίαν καρπούμενος καὶ πτερνίζων οὐ μόνον αὐτούς, ἀλλὰ σὺν τούτοις καὶ τὸν ἀρχέκακον.

Ὁ Βασιλεύς. Πῶς γοῦν αὐτὸς καινίζεις θεσμοὺς καὶ νέους κανόνας δημιουργεῖς ἐκείνοις τὰ μεγάλα τούτου γραφόμενος;

Ὁ Πατριάρχης. Μή μοι γένοιτο τοιοῦτόν τι πεπονθέναι, μηδὲ ὑπερβαίνειν ποτὲ τὸ τοῖς Πατράσι δοκοῦν, μηδὲ τὸ πυρὶ πορευθῆναι τοῦ ἡμετέρου προσώπου τὸ τῆς ἐκκλησίας καταλιπών.

Ὁ Βασιλεύς. Καὶ ποῦ τῶν θείων νόμων διείληπται τὸ τῷ περὶ τὸ ὀρθόδοξον ὑποσχάζοντι μηδὲ κοσμικῆς τιμῆς ὑπερίστασθαι ἢ καὶ παρέχειν τὸ πρωτεῖόν τε καὶ τὴν ἔκκλητον;

Ὁ Πατριάρχης. Καὶ πῶς ἂν ὁ μὴ καλῶς ἔχων κρίνοι τὸν ὀρθῶς διακείμενον;

Ὁ Βασιλεύς. Τί γὰρ ἐντεῦθεν τὸ ἄτοπον;

Ὁ Πατριάρχης. Τί μὲν οὐ νικᾷ τῶν ἐναντίων εἰπέ.

Ὁ Βασιλεύς. Καὶ τίς τοῦτο τῶν ἁγίων ἐκώλυσεν;

Ὁ Πατριάρχης. Οὐχ εἷς μόνος, οὐδὲ ὁ τυχών, ἀλλὰ μεγάλοι καὶ πλείονες.

Ὁ Βασιλεύς. Σαφήνισον ἡμῖν.

Institutional Repository - Library & Information Centre - University of Thessaly
13/05/2024 00:06:14 EEST - 18.221.83.60

Ὁ Πατριάρχης. Καὶ δὴ ἄκουε. Οἱ τὰς θείας συνόδους καὶ ἱερὰς συγκροτήσαντες μὴ ὅ,τι περὶ τῆς ἀληθείας καὶ τῶν ὀρθῶν δογμάτων τῆς εὐσεβείας ἐτράνωσαν, ἀλλὰ καὶ περί τινων ἄλλων, ὡς ἡ τοῦ Πνεύματος ἐδίδου χάρις ἐθέσπισαν, ἐν οἷς καὶ τὸ μηδένα κατεγνωσμένον εἰς κατηγορίαν προσίεσθαι ἐν τοῖς πρώτοις καὶ μεγίστοις ἐτίθεντο. Εἰ τοίνυν τοῦ Πάπα καταγινώσκουσιν ἅπαντες· τοῦτο γὰρ οὐδεὶς ἀμφιβάλλει κἂν ἀντιπίπτει, πολλοὺς ἐλέγχους εὑρήσει τῶν ἐπὶ σοφίᾳ διαλαμψάντων τὰς βίβλους ἀνὰ χεῖρας λαβών, πῶς ἂν κριτὴν αὐτόν τις ποιήσαιτο τῶν κανόνων οὐκ ἐώντων οὐδὲ κατήγορον ἢ πῶς ὁ τοῦτο τολμῶν οὐ τὰ τῶν Πατέρων παρεῖδε νομοθετήματα ἐκ συνεργείας γεγραμμένα τοῦ Πνεύματος, ὡς ἐντεῦθεν καὶ πρὸς τὸ Πνεῦμα μεταπέμπεσθαι τὴν ἀθέτησιν καί τινα τρόπον τοῦτον πρὸς τὸ Πνεῦμα κινδυνεῦσαι διαμαρτεῖν;

Ὁ Βασιλεύς. Ἀλλ' ὡς λέγεις, εἰ καὶ μοιχῷ τις συγκοινωνήσειε τῆς εὐσεβείας ἐξέστραπται.

Ὁ Πατριάρχης. Σὺ δὲ οὐ δοκεῖς;

Ὁ Βασιλεύς. Οὔκουν.

Ὁ Πατριάρχης. Οὐδ' ἀντιβαίνεις;

Ὁ Βασιλεύς. Οὐδὲ ὁπωσοῦν.

Ὁ Πατριάρχης. Ἀλλ' Ἰωάννης ὁ πάνυ, ὁ τοῦ Κυρίου βαπτιστής τε καὶ πρόδρομος, τὸν μοιχὸν ἐλέγχων καὶ τὴν κάραν ἀφῄρηται καὶ πολλοὺς ἂν μάθοις ἑτέρους ὑπὲρ τοιούτων ἀσμένως τὰ δεινότατα καρτερήσαντας, ἄδικον δὲ καὶ τῶν ὄντως μάλιστα ἀπρεπῶν μοιχείαν μὲν καὶ πορνείαν τοὺς ἱερεῖς ἀφαιρεῖσθαι τὰ ἀξιώματα, τὸ δὲ παραβαίνειν τὴν πίστιν οὐ τοῦτο δύνασθαι. Ἢ δυνήσεται καὶ αὐτό, κἂν οὐκ ἐκεῖνο μᾶλλον, ἀλλ' οὖν οὐδ' ἔλαττον; Καὶ ποῦ λοιπὸν ὁ Πάπας ἀρχιερεὺς μυριάκις ὑπὸ τῆς ἀκολουθίας τοῦ λόγου σοι καθαιρούμενος, τῆς δ' ἀρχιερατικῆς εὐκλείας ἀποπεσών, οὐκ ἂν εἴη πρῶτος τῶν οἳ τὴν χάριν διεφυλάξαντο, λαϊκὸς δὲ καὶ παρ' ἄλλων ἁγιαζόμενος, ἀλλ' οὐκ αὐτὸς ἁγιάζων ἄλλους ἢ καὶ πρεσβυτέρους καὶ διακόνους καὶ τοὺς τῶν μειζόνων βαθμῶν προβαλλομένους, πολλῷ δὲ πλέον οὐδὲ τῶν τοιούτων κριτής· τὸ γὰρ ἀφιέναι τοῖς τοιούτοις τὰ πταίσματα ἢ τοῖς ἁμαρτάνουσι συγχωρεῖν μανίαν ἂν ἐσχάτην ἔγωγε κρίναιμι, οἶδα δὲ ὡς καὶ πάντες ὅσοι συγκατειλεγμένοι τοῖς γε νοῦν ἔχουσιν. Ἴσως δὲ οὐδὲ τῶν ὀρθοδόξων ἁπλῶς καθηγητὴς ὁ ῥηθείς, ἵνα τὸν λόγον ἐπαναλήψωμαι· οὐδὲ γὰρ ποιμήν, ἀλλὰ πρόβατον ἀπὸ τοῦδε καὶ πρόβατον ψωριῶν καὶ ἰατρείας δεόμενον ἀναδέδεικται ὥστε καὶ χείρων ἔσται κατὰ πολὺ καὶ τῶν ἑτέρων θρεμμάτων, οἷς τὸ ὑγιὲς διασώζεται καὶ δεῖ παντάπασιν ἀφεστάναι ἵνα μὴ τοῦ πάθους καὶ αὐτοὶ μεταλάβωμεν.

Ὁ Βασιλεύς. Ἀλλ' οἰκονομεῖν ἐν κρίσει δέον τὰ πράγματα, οὐ γὰρ μόνον τοὺς λόγους, καὶ κιρνᾶν τῇ αὐστηρίᾳ τὴν ἐπιείκειαν.

Ὁ Πατριάρχης. Ἐν ἄλλοις τοῦτο.

Institutional Repository - Library & Information Centre - University of Thessaly
13/05/2024 00:06:14 EEST - 18.221.83.60

Ὁ Βασιλεύς. Κἂν τοῖς θείοις αὐτοῖς.

Ὁ Πατριάρχης. Οὕτω σύ, ἀλλ' οὐχ' ὁ πολὺς καὶ μέγας Βασίλειος, τοὐναντίον δὲ ἅπαν, μηδὲ τὸ βραχύτατον παραθραύειν διὰ λόγους οἰκονομίας τῶν πνευματικῶν ἐνομοθέτησε διατάξεων καὶ μάλα εἰκότως· οὐ γὰρ ἄν τις κρεῖττον οἰκονομείη τοῦ τὸ πᾶν ἐπιβλέποντος καὶ διόλου δέον ἐχομένου αὐτοῦ καταλιμπάνειν τὰ καθ' ἡμᾶς, ὅπως ἐκεῖνος οἰκονομοῖτο καὶ διεξάγοιτο· οὕτω γὰρ ἂν ὡς ἄριστα φέροιτο. Εἰ δέ τις οἰκονομεῖν ἐπιχειρείη χωρὶς οἰκονομίας τῆς ἄνωθεν, δι' ὧν τὰ συμφέροντα πραγματεύεται, διὰ τούτων λάθοι ἑαυτὸν τὰ χείριστα διαθέμενος, οὐδὲ πόλιν φυλάξοι, οὐδὲ οἰκονομῆσαί τι δυνηθείη μὴ τοῦ Κυρίου οἰκονομοῦντος τε καὶ φυλάσσοντος, ἀλλὰ μάτην μὲν ἀγρυπνήσοι, ἐπὶ κενῷ δὲ τὸν μόχθον εἰς τὰ θέμεθλα καταβάλλοιτο. Ἀλλὰ ταῦτα μὲν ἐπὶ πάσαις λέγω ταῖς ἐκκλησιαστικαῖς ὑποθέσεσιν, ἐν δέ γε τοῖς προκειμένοις καὶ λίαν ἐπιεικέστερον χρησαμένου εὑρίσκω τὸν κύκλον τοῦ ἱερωτάτου τῶν Πατέρων χοροῦ· τά τε γὰρ ἄλλα καὶ ὅ,τι πλεῖστα τοῖς βλασφημήσασι συγκατέβησαν.

Ὁ Βασιλεύς. Καὶ πῶς εἴ γε καὶ πρὸ κρίσεως κατεδίκασαν καὶ ἵν'οὕτως φαίην ἐξωλεστάτης δίκης πεποίηνται καὶ ἐρήμην καταψηφίζονται· οὐ γὰρ παρεστάναι κἀκείνους τις λέγει, ὅταν κατ' αὐτῶν τὴν ψῆφον ἐξήνεγκαν, κανὼν δὲ καὶ τοῦτο τῶν ἀρχιερέων οὐδένα πρὸ τῆς ἀκριβοῦς ἐξετάσεως τῆς ἰδίας δόξης συγκατασπᾶν, μηδὲ τῶν ἱερῶν διπτύχων ἐξάγειν, μηδὲ τοῦ μνημοσύνου στερεῖν ἢ καὶ ἀναθέματος ὑπὸ δίκην τὸν τολμήσαντα καθυπάγεσθαι.

Ὁ Πατριάρχης. Ὅτι μὲν ἀληθείας ἐχόμενα ταῦτα, οὐκ ἂν ἀπαρνήσομαι, ἀκριβείας δὲ οὐκ ἂν συνθέσθαι βουλήσομαι· διώρισται γὰρ εἴ τις ἐγκληθῆναί τι φθάσει, ἂν παρὰ τῆς Συνόδου καλοῖτο λόγον ὑπέχειν μέλλειν μὲν οὐδὲν παραγίνεσθαι καὶ τοῦ τεταγμένου παραρρυέντος καιροῦ ἂν ὁ καλούμενος οὐκ ἀφίκοιτο, τὰ τῶν κατηγόρων πιστοῦσθαι καὶ αὐτὸν κατακρίνεσθαι. Ἀλλὰ τοῦτο μὲν ἴσως ἐν ἑτέροις, οἱ δὲ περὶ τὸ εὐσεβὲς ἐναυάγησαν καὶ δριμυτέραν, εἴποις ἂν καὶ αὐτός, τὴν τῶν κριτῶν γνώμην καθ' ἑαυτῶν ὑπεκκαύσουσιν, εἰ δὲ καὶ γυμνῇ κεφαλῇ τὰ βλάσφημα κηρυκεύουσιν, οὐ μόνον οὐκ αὐτοὶ πταίειν ἡγούμενοι, ἀλλὰ καὶ τοὺς οὐχ ἑπομένους σφαλλομένους τιθέμενοι, τί ἄν τις χρείαν ἔχει μαρτύρων ἢ πῶς κατασκοπεῖν δέον καὶ ὡς ζητούμενον ἐρευνᾶν, ἀλλ' οὐκ αὐτίκα τοὺς τολμητίας ποιεῖν ὑπὸ τὸ ἀνάθεμα. Δεῖ δὴ μὴ κρίνειν τοὺς Ἰταλούς, ἀλλὰ μᾶλλον ἐλθεῖν ἐνταῦθα καὶ κρίνεσθαι. Οἱ δὲ ἀπαξάπαντες ἀθερίζουσι καὶ μιαρῶς οὕτω καὶ βδελυρῶς ἐξεῖναι καὶ αὐτοῖς προστιθέναι τοῖς δόγμασι ὡς Πατράσι διισχυρίζονται. Ἐπαπειλήσοι δέ τις τὴν ἐκκοπὴν καὶ αὐτοὶ τὸ μεῖζον ἀνταπειλήσουσιν, ὡς κεφαλὴν δὲ πάντων κατ' αὐθεντίαν διατείνονται, πρᾶγμα πάσης ἀπονοίας ἐχόμενον· τίς γαρ ἂν

Institutional Repository - Library & Information Centre - University of Thessaly
13/05/2024 00:06:14 EEST - 18.221.83.60

τὸν Πάπαν κεφαλὴν ἑαυτοῦ καταδέξεται καὶ ταῦτα ἀσεβείας ἀπόζοντα τὸν Χριστὸν ἀφεὶς ὑφ' οὗ σέσωσται;

Ὁ Βασιλεύς. Ἦ μὴν οὐδὲ πρῶτος.

Ὁ Πατριάρχης. Τοῦτο μὲν ἔσχον, οὐ διὰ Πέτρον ἢ Παῦλον, ὡς αὐτοὶ ἐναβρύνονται· οὐ μᾶλλον γὰρ Ρώμης ὁ Πέτρος ἢ τῆς οἰκουμένης διδάσκαλος, ταῦτα δὲ καὶ πρὸ Ρώμης τῇ τῶν 'Αντιοχέων τὸ πρωτεῖον χαρίζεται ἢ φθάσοι ἂν τὴν τιμὴν ὁ Ἱεροσολύμων ἀπολαβών· ὁ γὰρ Χριστὸς ἐν τούτοις περιεπόλευε καὶ τὸ κρείττω εἶναι τῶν μαθητῶν οὐδὲ παρὰ τοῦ γένους τῶν 'Ιταλῶν, κἂν θρασὺ λίαν, ἀφαιρεθήσεται. Λείπεται τοίνυν τὴν βασιλείαν καὶ τὸν θρόνον σεμνύναι τὸν ἱερόν, μετατεθείσης δὲ τῆς βασιλείας καὶ τῆς ἀρχῆς ἀνάγκη πᾶσα καὶ τὰ πρωτεῖα μεθίστασθαι. Καὶ συνᾴδει μοι πρὸς τοῦτο τὸ στῖφος ἅπαν τῶν ἐν τῇ δευτέρᾳ συνόδῳ συνεληλυθότων θειοτάτων ἀνδρῶν. 'Αλλ' ἐνθάδε μὲν ὁ λόγος ἐπῆλθε τῆς ἀεὶ παρεμπιπτούσης ἡμῖν ἀκολουθίας ἐχόμενος, ὅπερ δὲ λέγειν ἄνωθεν προεθέμην ἐπαναλήψομαι. Δικαίως μὲν οὖν καὶ ἀνεθεματίσθησαν ἂν καὶ τοῖς αἱρετίζουσι συνετάγησαν, οἱ δὲ τῶν ὀρθοδοξούντων εὖ προϊστάμενοι πολὺ περὶ τὸ τιμωρεῖν ἐμετρίασαν ἐκκόψαντες μόνον καὶ ἀποσχίσαντες, οὐ μὴν αἱρετικοὺς καθολικῶς ὀνομάσαντες καὶ ταῖς αὐταῖς ἐκείνοις παραδόντες κολάσεσιν.

Ὁ Βασιλεύς. Καὶ ψευδῶς οὕτω τούτους ὠνόμασαν;

Ὁ Πατριάρχης. 'Αληθῶς γε μήν, ἐπεὶ καὶ μηδὲν ἄλλο οἶδα τὴν αἵρεσιν ἢ τὸ κρατύνειν ὃ ἄν τις αἱροῖτο καὶ μὴ τοῖς κυρωθεῖσι ταῖς ἐκκλησίαις ἀκολουθεῖν, ὃ καὶ τοὺς 'Ιταλοὺς πεπονθέναι ἐπίσταμαι. 'Επὶ τοσοῦτον ἡμῖν καὶ τὰ τῆς οἰκονομίας οὐκ ἀπολείπεται, τὸ δὲ καὶ πέραν τοῦ προσήκοντος οὐ καλόν. Εἰ δ' ἐπὶ τοῖς προλαβοῦσιν οἰκονομήσει τις ἕτερα, επ' ἐκείνοις δὲ πάλιν ἄλλα τις ὕστερον καὶ μέχρι πολλοῦ κατὰ λόγον διαδοχῆς τὰ τῶν οἰκονομιῶν διαπέμποιεν, φθάσαιμεν ἂν ἀπρεπῶς συναφθέντες, ὧν, ὡς εἰκός, διεζεύχθημεν. 'Αλλὰ μηδὲν ὑπὲρ τὰ ἐσκαμμένα πηδῶμεν, μηδὲ τῶν Πατέρων παρορῶμεν τὰ ὅρια.

Ὁ Βασιλεύς. 'Αναθεματίσαις δὲ σύ;

Ὁ Πατριάρχης. Καὶ πρὸ ἐμοῦ οἱ τὰ τῶν Συνόδων ἐκθέμενοι· πάντα γάρ, ὅστις ἂν ᾖ, προστιθέναι τι τῷ Συμβόλῳ τολμᾷ ἤ τι κείμενον ἀφαιρεῖν. Κἀκεῖνοι πάντες οἱ Λατῖνοι προσέθεντο.

Ὁ Βασιλεύς. 'Αλλὰ τῷ Συμβόλῳ προστεθεικότες, οὐδὲν ἐν τῷ Εὐαγγελίῳ προσέθεντο.

Ὁ Πατριάρχης. Τοῦτο δικαιοῖ καὶ τὸν Ἄρειον, ὃς τὸν Υἱὸν ὑβρίζων περὶ τοῦ Πατρὸς ὀρθῶς ἐδογμάτιζεν. 'Αλλ' οὐ δόξα τις τὸ ἐξ οὗ ἡ τοῦ ἐξ αὐτοῦ ἀτιμία.

Ὁ Βασιλεύς. 'Αλλ' ὁ μὲν Πατέρα τιμῶν εἰς τὸν Υἱὸν ἐβλασφήμησεν, οἱ δὲ Υἱὸν προσκυνοῦντες καὶ τὰ τοῦ Εὐαγγελίου κρατύνοντες οὐχὶ καὶ

Institutional Repository - Library & Information Centre - University of Thessaly
13/05/2024 00:06:14 EEST - 18.221.83.60

τοὺς δούλους ὑβρίζουσι· τοῦτο γὰρ τοὺς Πατέρας ὁμολογήσομεν.

Ὁ Πατριάρχης. Ἐπεὶ καὶ τὰς τούτων ἐκδόσεις παραβεβήκασιν, οὐ τοὺς Πατέρας, ἀλλὰ τὸ Πνεῦμα, οὐ τόσον ὅτι περὶ αὐτῶν, ὅσον ὅτι τὸ τῶν Πατέρων καὶ παρ' αὐτοῦ. Ἄλλως τε εἰ μὲν ἄλλοις τὰ τῶν ἁγίων Πατέρων οὐκ ἔστεργον, δικαίως ἂν ταῦτα προέτεινον, εἰ δ' ἐν οἷς οὐκ ἀφ' ἑαυτῶν, ἀλλ' αὐτοῦ τοῦ Υἱοῦ μαθόντες εἰρήκεσαν, ἐν τούτοις αὐτοῖς ἀντιπαρατάττονται, τὰς τοῦ Υἱοῦ προσταγὰς ἀναιροῦσιν ἀριδηλότατα. Οὐ χρεὼν δὲ πολλάκις μὲν εὐσεβῆσαι, πολλάκις δὲ ἀσεβείαις περιπεσεῖν καὶ μηδὲν ἐντεῦθεν οἴεσθαι παραβλάπτεσθαι, διὸ καί ποτε τοῖς ὀρθοδόξοις συντάττεσθαι, ὥσπερ ἂν εἴ τις ἅπαξ πορνεύσας ἑαυτὸν κατηγορίας ἐκφέροι καὶ μὴ διηνεκῶς παροινήσαντα. Ἦ μὴν ἀνάσχοιο σὺ παρὰ τῶν ὑπηκόων ἐξουθενούμενος κἄν ἐστιν ὅτε καὶ μὴ ὑβρίζοιο;

Ὁ Βασιλεύς. Ἐμοὶ δοκεῖ τοὺς πᾶσαν ἀναθεματίζοντας αἵρεσιν καὶ τὴν φυομένην ἐκ τοῦ λόγου βλάβην ἐκφεύγοντας οὐ κακῶς πράττειν, εἴ τι κἄν ταῖς λέξεσι σφάλλονται.

Ὁ Πατριάρχης. Εἰ μὲν ἀγνοοῖεν τὸ ἄλογον καὶ αὐτὸς συγχωρῶ, εἰ δὲ ἐλεγχόμενοι οὐ μεθίστανται οὐκ ἀφίημι μέμψεως καὶ τὸ τὰ δεικνύμενα κάκιστα ἐκφυγεῖν. Οὐδὲν ὠφελεῖ τὴν ῥίζαν ἐκτεμεῖν, ἀλλ' οὐ τοὺς κλάδους προσηκόντως ἐξαποστρέφεσθαι. Εἰ δέ τις οὐκ ἔχει τὸ ἐξ ἀρχῆς εἰρημένον λαμβάνειν ἀπάγει εἰς ἄτοπον καὶ οὕτω πεισθείη μὴ καλῶς ἔχειν ὁμολογῶν καὶ τὸν ἀφιέμενον ἀνεξέλεγκτα ἂν τὰ πράγματα διαμένοιεν. Τί δὲ καὶ δεῖ μοι χειρόνων αὐτοῦ τούτου ἀρκοῦντος, τοῦ προστιθέναι φημὶ τὰ μεγάλα τῶν αἰτίων κατηγορεῖν. Εἰ γοῦν ἀπαγορεύεις τὸ βλάσφημον τὸ προστεθὲν ὑπεξελεῖν προθυμήθητι, ἢ τούτου μὴ ἐφιέμενος μάτην ἴσθι διαβάλλειν ἐπιχειρῶν τὰ φαινόμενα. Ἐγὼ γὰρ οὐδὲν ἄλλο τῶν ἀπὸ τοῦ λόγου γινομένων παράγων διὰ τῶν λόγων αὐτῶν καταψηφιοῦμαί σου καὶ τὰ κάκιστα, οὕτω δ' ἂν αὐτὸς καὶ τοὺς εἰκονομάχους εὖ ποιεῖν ἀποδείξειας κἀκεῖνοι γὰρ τὰς στηλογραφίας τῶν εἰκόνων καθῃρηκότες τὸ ἐφεξῆς ὡς οὐ καλὸν ἐμυσάττοντο, τὴν ἀτιμίαν λέγω τὴν ἐπὶ τὸ πρωτότυπον διαβαίνουσαν, ἀλλ' ὤναντο πάντως οὐδὲν τῆς ματαιολογίας αὐτῶν ἀναθεματισθέντες, ὥσπερ ἦν ἄξιον. Πολλῷ μέντοι φαῦλον τὸ τὰς εἰκόνας ὑπεριδεῖν τοῦ περὶ τὸ πρωτότυπον βλασφημεῖν.

Ὁ Βασιλεύς. Καὶ τίς οἶδεν ἀκριβῶς εἰ προσέθεντο, ἀλλ' οὐκ ἀρχῆθεν τοῦτο παρέλαβον;

Ὁ Πατριάρχης. Τῆς ἀναιδείας, εἰ μὴ μόνοι ἀποθαρροῦσι τὰ χαλεπώτατα, ἀλλὰ καὶ τῶν ἁγίων αὐτὰ καταψεύδονται καὶ ἰταμῶς ἔναντι δόξας ἔχειν ἐν τοῖς αὐτοῖς τοὺς Πατέρας οὐκ ἀπαναίνονται, ὡς κρεῖττον ἦν τοῖς προλαβοῦσιν ὑποκεῖσθαι τοῦ πταίσματος ἢ πρὸς τοῖς ἄλλοις καὶ ψεύδους ἐπισπᾶσθαι γραφαῖς καὶ τῷ Δεσπότῃ συλλοιδορεῖσθαι τοῖς γνησίοις θεράπουσιν. Εἴ τίς καὶ πείθηται ταῦτα τοὺς θείους ἄνδρας ἐκτὸς τῶν θε-

Institutional Repository - Library & Information Centre - University of Thessaly
13/05/2024 00:06:14 EEST - 18.221.83.60

σπισμάτων τοῦ Εὐαγγελίου τι διαττάτεσθαι καὶ τῆς πλάνης τοὺς καθαιρέτας πολλῶν τε καὶ βαρυτάτων τὴν ἀφορμὴν παρέχειν αἱρέσεων; Ἢ καὶ στρατηγός τις γενναῖος εἰς τὴν τῶν ἐχθρῶν ἀντικατάστασιν ἐξερχόμενος τοῖς ὑπ' αὐτὸν στρατιώταις θελήσας δοῦναι σύνθημά τι πρὸς γνώρισμα, οὐ πᾶσιν ὁμοίως ἔχον δοίη καὶ ἀπαράλλακτον, ἀλλ' ἄλλῳ μὲν οὕτως ἑτέρῳ δ' ἄλλως, ἵνα μηδεὶς ὑπὸ τοῦ ἑτέρου γινώσκηται, ἀλλ' ὡς ἀντιπάλοις ἀλλήλοις ἀντιμάχεσθαι δυστυχήσουσιν. Οὐκοῦν οὐδὲ τὸ τῆς πίστεως σύμβολον τοῖς Γραικοῖς μὲν ἡμῖν οὕτω, τοῖς δὲ 'Ιταλοῖς ἐκείνως οἱ συνθέμενοι παρέδωσαν.

Ὁ Βασιλεύς. 'Αλλὰ φεῖσαι μὲν ἡμῶν ἀξιῶ, φεῖσαι δὲ πάσης τῆς στρατιᾶς, μαχόμεθα γὰρ συνεχῶς ἐξ ὅτου καιρὸς καὶ οὐκ ἀντέχειν ἤδη δυνάμεθα, πόλεις δὲ τίς ἀριθμήσειε καὶ χώρας περιφανεῖς, ἃς δι' αἰτίαν ταύτην ὠλέσαμεν, τῶν μὲν ὑπ' αὐτῶν στερηθέντες, τῶν δὲ παρ' ἄλλων δυσσεβῶν δι' αὐτοὺς πρὸς αὐτοὺς ἀπησχολήμενοι καὶ καθὼς ἔδει τοῖς ἐναντίοις οὐκ ἀντιβαίνειν ἰσχύοντες. Ὢ οἵων χριστεπωνύμων, ὡς μὲν ἐνθέων ὡς δὲ πραέων, ὡς δὲ πάντα πλουτούντων ὅσα θεάρεστα κατατυραννοῦσιν οἱ τοῦ Μουχάμετ τῆς πίστεως καταπαίζοντες καὶ νῦν μὲν ἐκπεταννύντες τὰ χείλη κατὰ τοῦ Σωτῆρος Χριστοῦ, νῦν δὲ κατὰ τοῦ τιμίου Σταυροῦ ἀπαναιδευόμενοι, ναοὶ δὲ καὶ πάνυ παρακαλλεῖς, ὡς ἴσασι πάντες, εἰς εἰδωλεῖα παρὰ τούτων μετεσκευάσθησαν. Οὐκοῦν κρεῖττον τοῖς καὶ συμφωνοῦσι κατά τι σπείσασθαι καὶ τοὺς παντελῶς ἀλλοτριόφρονας καθελεῖν ἢ τούτων διϊσταμένους εὐχειρώτους ἐκείνοις εἰς καταγώνισιν προκεῖσθαι.

Ὁ Πατριάρχης. Σωμάτων μὲν ὑπεριδεῖν βέλτιστον, ψυχῶν δὲ οὐδὲ ἀμελήσειν λυσιτελές. Τῶν μὲν οὖν εἰς ἐκεῖνα λυμαινομένων οὐδὲ λόγον ἂν θήσομαι, τῶν δὲ ἐπὶ ταύταις ἐπιμελήσομαι τὴν ἀπόκρουσιν, ναοὶ δὲ Θεοῦ ζῶντες ἡμεῖς ἐσμὲν οἱ κινούμενοι καὶ δεσποζόντων μὲν ἡμῶν ἀσεβῶν οὐδὲν παρεβλάβημεν, εἰ δὲ κατά τι κοινωνοῦμεν τοῖς 'Ιταλοῖς, τὰ μέγιστα ζημιούμεθα εἰς αὐτὸ τὸ δόγμα λαβόντες τὸν κίνδυνον ἀνατρέχοντα, κυριεύσοι δέ μού τις 'Αγαρηνὸς τὸ φαινόμενον καὶ μή μοι συντρέχοι τὸ νοούμενον 'Ιταλός· τῷ μὲν γὰρ οὐκ ὁμογνωμῶ, κἂν ὑπόκειμαι, τοῦ δὲ τὴν συμφωνίαν ἐπὶ τῇ πίστει δεξάμενος τοῦ Θεοῦ μου ἐμαυτὸν ἀπεχώρισα, ὃν ἐκεῖνος ἀποδιώκει ἐνστερνησάμενος, τάχα δὲ καὶ τοῦ ὀρθοῦ μηδόλως ἐκπίπτων καὶ ἀμφοῖν περιέσομαι, ἐκκλίνων δὲ τοῦ εἰκότος καὶ θατέρων λελείψομαι, δειλιῶ δὲ φόβον, ὃν οὐκ ἄν τις φαίη ἀνεύλογον ἁμαρτάνων παραδεδόμενος τοῖς ἔθνεσι. Μὴ βλασφημῶν ὁλοτελῶς ἐκτριβήσομαι καὶ δουλωθῶ δουλείαν διπλῆν μηδέποτε λυθήσεσθαι προσδοκήσιμον. Καὶ ἄλλος τις λόγος οὗτος ἀπόρρητος καὶ θειότερος ἐν τοῖς δεινοῖς ἡμᾶς ἀφιέναι χρονίζειν τὸν Σωτῆρα καὶ Κύριον, εἴπερ οὐκ ἐκκακοῦμεν πάσχοντες δι' αὐτὸν δοκιμάζοντα καὶ δεῖ πάντως μὴ ἐκλελύσθαι ὑπὸ τούτου ἐλεγχομένους· ἀγαπᾷ γὰρ πάντα υἱόν, ὃν βελτιοῦν θέλει διὰ παιδεύσεως καὶ διὰ

Institutional Repository - Library & Information Centre - University of Thessaly
13/05/2024 00:06:14 EEST - 18.221.83.60

μαστίγων ἐπανορθούμενος ἑαυτῷ συνδεῖν πλησιέστερον.

Ὁ Βασιλεύς. Ἀρίστως ἀγορεύεις καὶ διδασκόμενος πείθομαι καὶ οὐδεὶς οὐκέτι ἀπειθήσει τοῖς λόγοις σου.

Ὁ Πατριάρχης. Ὀλίγα τινὰ προσθῶμεν τοῖς εἰρημένοις καὶ τὴν ὁμιλίαν ἐκπερατώσωμεν εἰς γὰρ πλεῖστον μεμήκυται.

Ὁ Βασιλεύς. Ἀρκεῖ μέν σοι καὶ τὰ ῥηθέντα ἀπὸ τῶν ὤτων ἕλκειν ἡμᾶς πλέον εἴπερ ἀπὸ ῥινὸς ἰσχύσουσιν ἕτερα τὸ ᾀδόμενον, προστίθει δ' ὅμως καὶ ἅπερ βούλει, εἴθε δὲ καὶ ταῦτα οὕτω λυσιτελέστατα· ἤδη γὰρ καὶ ἔργον εὐχῆς τῶν τοιούτων ἐπακροᾶσθαι ῥημάτων ὡς εἰκὸς τίθεμαι.

Ὁ Πατριάρχης. Αἱρετίζει πῶς ὁ προσδεχόμενος αἱρετίζοντα; Οἱ κανόνες κελεύουσι μὴ ἀνθίστασο, μηδ' ἀμνημόνει τῶν Ἰταλῶν ὡς ὀλίγον πρότερον αἱρετίζοντες ἀπεφάνθησαν.

Ὁ Βασιλεύς. Καὶ πῶς οὐκ ἐκλήθησαν;

Ὁ Πατριάρχης. Δι' οἰκονομίαν, ὡς ἔφην, καὶ ὅτι μὴ συγκεκρότηται σύνοδος, εἰ δὲ συγκροτηθείη καὶ κηρυχθήσονται.

Ὁ Βασιλεύς. Εἰς τὰ πέραν τῆς θαλάσσης οὐ προσῆκον ἔκκλητον γίνεσθαι τῶν θείων νόμων καὶ τοῦτο μὴ ἀντίβαινε.

Ὁ Πατριάρχης. Ἐν βιωτικοῖς πράγμασι κατεγνωσμένον, ἂν δικαστὴν οὐκ ἐκαθίσατε. Καὶ πῶς ἐν τοῖς πνευματικοῖς τοιοῦτον προσίεσθαι; Παῦλος ταῦτα τῇ πρὸς Κορινθίους, ἀλλ' οὐκ ἐγὼ διατείνομαι.

Ὁ Βασιλεύς. Ἀλλ' ὃ μὲν μικροῦ καὶ διέλαθε νῦν αὐτὸς ἀναμνήσας, καὶ τὸ ἀμφίβολον ἐπιλύσεις μοι. Κανόνας τῶν Ἀποστόλων προσίενται μὲν οἱ Γραικοί, ἀποπέμπουσι δὲ Ἰταλοί, καὶ πῶς ἄν τις ἔχοι καὶ περὶ τούτου εἰδέναι τὸ ἀκριβές;

Ὁ Πατριάρχης. Οἱ τῆς συνόδου Πατέρες καὶ περὶ αὐτῶν διετράνωσαν, ἐπειδὴ γὰρ εὗρον πολλοὺς οὓς ἀνατεταγμέναι ἐπιγραφαὶ εἰς ἀπόστολον ἀνέτρεχον κοινῶς τὰ κατ' αὐτοὺς σκεψάμενοι, οὓς μεν οὐκ ἀληθῶς ἐκείνων ὄντας διέγνωσαν ἀφανισμῷ τελείῳ παρέδωκαν εἰς τροφὴν παραθέντες τῷ παμφάγῳ πυρί, οὓς δὲ τῶν ῥηθέντων θείων ἀνδρῶν ὑπάρχειν γεννήματα ἐκ τῆς ἀκολουθίας ἐσώζετο, τούτους περὶ πλείστου πεποιηκότες τηρεῖσθαι κἂν τοῖς μετέπειτα ἐν ταῖς θείαις βίβλοις ἔταξαν ἐγχαράττεσθαι πρὸ τῶν λοιπῶν κανόνων καὶ νόμων, οἵ παρὰ συνόδων ἱερῶν ἐγεγόνεσαν, ὡς καὶ χρόνῳ προήκοντας καὶ τῇ τιμῇ τὰ πρεσβεῖα πλουτήσαντας. Οὓς τοίνυν ἐν ταῖς θείας εὑρήσεις πυκτίσι καὶ σὺ ἀσπάζου καὶ δέχου καὶ πάντα τρόπον κραταιοῦν προθυμήθητι, τοὺς μὴ δεχομένους δικαίως ἀποστρεφόμενος καὶ πρὸς τὸ μὴ φυλάττειν τὰ τῶν ἁγίων καὶ ψεύδους εὐθύναις ἑαυτοὺς ὑποτιθέναι οἰόμενος.

Ὁ Βασιλεύς. Ἀφέξομαι τὸ ἀπὸ τοῦδε ὡς ἰὸν ὄφεων τῶν τοιούτων ἀνδρῶν καὶ καθάπερ οἱ ἐν νόσοις φιλοζωοῦντες τῶν βλαβερῶν φιλοῦσιν ἀπέχεσθαι, κἂν λάθωσί ποτε ἑαυτοὺς ὑπ' ἀγνοίας τι τῶν νοσοποιῶν ἐξαι-

Institutional Repository - Library & Information Centre - University of Thessaly
13/05/2024 00:06:14 EEST - 18.221.83.60

τούμενοι τῷ μὴ δίδοντι μεγάλας χάριτας οἴδασι συνορῶντες ἐν τοῖς μετέπειτα οἵου κακοῦ ἂν ὅπερ ᾔτουν ἔλαβον ἤχθησαν, οὕτω δὴ καὶ αὐτός, σὲ μὲν εὐεργετεῖν με τὰ μέγιστα ὁμολογήσω διατόρῳ φωνῇ τοὺς δὲ πρὸς τὰ κάκιστα συνωθοῦντας ἢ ὡς ἀγνοοῦντας μεμψαίμην ἢ ὡς συνειδότας κατηγορήσω, ἐκείνους μὲν ἀφροσύνης, τούτους δὲ κακίας καὶ δόλου.

Ὁ Πατριάρχης. Ἔγωγε, θειότατε Δέσποτα καὶ τῶν πώποτε βασιλέων εἴπω δὲ καὶ ἀνθρώπων ἐπιεικέστατε, τῷ πρὸς σὲ φίλτρῳ ἀκραιφνεστάτῳ χρησάμενος, μᾶλλον ἐθέμην τὴν φυλακὴν ὅπως ἂν ἐν τοῖς ἔνδον ἔχοις καλῶς, πέποιθα δὲ διὰ τούτων κἂν τοῖς ἐκτὸς ἢ τῷ φαινομένῳ λυσιτελεῖ προσανέχειν καὶ οὕτω τῷ οὐχ' ὁρωμένῳ καὶ κρείττονι παραβλάπτεσθαι, ἐντεῦθεν δὲ τάχα κἀκεῖνο, ὅπερ ποιούμεθα ἀπολύειν καὶ ἀμφοτέρων ἐν στερήσει καθίστασθαι. Ὅσα μὲν οὖν τοῖς ἀνδράσιν ἡμάρτηται, οἳ τῷ λόγῳ ἐξ ἀρχῆς προσετέθησαν, ἄλλοι πρὸ ἡμῶν, ὡς καὶ σὺ πάντως οἶδας, οὕτω μὲν θεῖοι, οὕτω δὲ μέτοχοι λόγου καὶ σοφίας πλήρεις τῆς εὐγενοῦς καὶ καθ' ἡμᾶς καὶ τῆς θύραθεν διειλήφθησαν καὶ τὰ τούτων πυξία λαβὼν γνωριεῖς καὶ αὐτὸς τὰ περὶ αὐτῶν, μᾶλλον δὲ οἶμαι καὶ ἔλαβες καὶ ἐγνώρισας, ἡμῖν δὲ ὁ λόγος πρὸς οὐδὲν ἕτερον γεγένηται σήμερον ἢ τοὺς ὁμολογουμένους κακοὺς οὐδόλως χρεὼν εἶναι κατασκοτάζων προσίεσθαι· τὸ γὰρ καὶ περὶ τοῦ εἰ τοιοῦτοι κακοὶ ποσῶς ἀμφιγνωμονεῖν, ἄλλοις τε ὡς εἶπον ἐμέλησε πρὸς ἀπόδειξιν καὶ πρὸ πάντων τῷ πάντα ἐρευνῶντι καὶ γινώσκοντι Πνεύματι, περὶ ὃ καὶ αὐτοὶ τὴν βλάσφημον γλῶσσαν ἀποκινεῖν οὐκ ᾐδέσθησαν.

Ὁ Βασιλεύς. Καὶ πῶς ὁ κατ' ἀρχὰς τούτων γραψάμενος τὰ δεινότατα, οἶδας τὸν ἄνδρα τὸν Φώτιον λέγω, αὐτὸς πάλιν τὴν τούτων κοινωνίαν προσήκατο;

Ὁ Πατριάρχης. Εἰ μὲν καὶ ἁμαρτάνειν εἰς τοῦτο παραχωροῦμεν τὸν Φώτιον, ἀλλ' οὐδὲν ἐντεῦθεν ἐκεῖνοι δικαιωθήσονται· νόμος γὰρ ἐκ παραβάσεως οὐ συνίσταται καὶ οὐχ οἷς ἔφθασέ τις διαμαρτεῖν, ἐν ἐκείνοις πρέπον ἀκολουθεῖν, ἀλλ' ἐν οἷς ὡς ἀρίστως εἰργάσατο, ἐν ἐκείνοις ἕπεσθαι χρή. Οὕτω γὰρ καὶ τῶν ὅσοι τῶν εὐσεβούντων ἦσαν ποτέ, εἶτα δὲ πρὸς αἵρεσιν ἐκκεκλίκασι, τὰ μὲν ὀρθῶς ἔχοντα τούτων ἀσπαζόμεθα, τὰ δὲ τοὐναντίον μισοῦμεν καὶ βδελυσσόμεθα καὶ τὸ ὠφέλιμον συλλεγόμενοι τὸ περιττόν τε καὶ μὴ λυσιτελὲς ἀποπτύομεν. Νυνὶ δὲ ἀλλ' οὐδὲ τὸ οἱονοῦν ἐσφάλθαι συμβαίνει ὅσον πρὸς τὸ προκείμενον τοῦτο ζήτημα τὸν θειότατον τοῦτον ἄνδρα καὶ οὐδὲν ἄλλο μεῖζον ἐκ τῆς ἑαυτοῦ πολιτείας τῆς τοιαύτης ἡμῖν ἐγχειρίσεως παρασχόμενον τοῦ ἀπορρῆξαι λέγω καὶ ἀποκόψαι τοὺς ἀθέους Ἰταλοὺς καὶ κακόφρονας κἂν ἐν τοῖς ἄλλοις οὕτω δή, κἂν τούτοις τὸ ψεῦδος παρρησιάζεται καὶ τοῦτον αὐτῶν τὸν καλὸν διαιρέτην καὶ κακὸν συναφέα τινὲς οὐκ ᾐδέσθησαν ὡς ἄλλως τῆς ἀληθείας ἐχούσης καὶ τὸν ἁγιώτατον Φώτιον οὐχ' ἁπλῶς οὐδὲ ὡς ἔτυχε μετὰ



Institutional Repository - Library & Information Centre - University of Thessaly
13/05/2024 00:06:14 EEST - 18.221.83.60

τὴν πολλὴν ἐκείνην καταδρομὴν τοὺς διαβληθέντας προσδεξάμενον καὶ ἑαυτῷ καὶ ταῖς ἐκκλησίαις ἑνώσαντα, ἀλλὰ πρῶτον ἀπολαβόντα ἐχέγγυον ἀσφαλές, ὡς εἰς τὸ ἑξῆς εὐσεβήσουσι καὶ τῆς προτέρας βλασφημίας ἀπόσχονται κἂν ἐπ' αὐτὴν ὡς οὐκ ὤφειλον κατηνέχθησαν. Ἤδη δὲ καὶ τὸ τῆς πίστεως σύμβολον πρὸς αὐτὸν ὀρθῶς ἐγχαράξαντες καὶ οὕτω πιστεύειν καθωμολόγησαν καὶ μηδὲν προστιθέναι ἢ ἀφαιρεῖν, τὸν δέ τι τοιοῦτον τολμῶντα μετὰ τῆς μερίδος τῶν τῆς ἀληθείας ἐχθρῶν καὶ τῆς ψευδοῦς πλάνης προστατῶν τίθεσθαι, οὐ μόνον δὲ πρὸς αὐτόν, ἀλλὰ καὶ πρὸς τοὺς ἑτέρους τρεῖς Πατριάρχας τὰ αὐτὰ διεπράξαντο κατὰ τὴν ἀρχῆθεν συνήθειαν, ἣ κελεύει πάντα τὸν ἀρχιερατικῆς προεδρίας καταξιούμενον καὶ μάλιστα τῆς πατριαρχικῆς τε καὶ μείζονος πρὸς τοὺς λοιποὺς ἀδελφοὺς καὶ συμπατριάρχας συστατικὰς ἐκπέμπειν ἐπιστολὰς ἐγκυκλίους, δι' ὧν τῆς οἰκουμένης ἁπανταχῇ τὴν οἰκείαν διατρανοῦσιν εὐσέβειαν καὶ τὸ ταυτόφρονον ἐπὶ τῇ πίστει τοῖς προλαβοῦσι πατράσι καὶ ὀρθῶς δογματίσασι· τοῦτο γὰρ οἶμαι βαθέως ὑποδηλοῦν τὸ περιειλῆφθαι ἐν τῷ κανόνι, ᾧ τοὺς Ἰταλοὺς προσεδέξατο, ἵν' ὅντινα καὶ ὁ ἁγιώτατος Φώτιος ἀπόβλητον ἡγεῖται καὶ ἀπαράδεκτον καὶ τοῖς ἑτέροις πατριάρχαις ἀπαράδεκτος ἔσεται καὶ ἀπόβλητος, διὰ δὲ τούτου μέσου καὶ ἡ καθ' ἡμᾶς ἐκκλησία, ὡς ἀπὸ τῆς ἀκολουθίας τοῦ καθήκοντος δείκνυται, καὶ ὁ Πάπας τῆς παλαιοτέρας Ῥώμης καὶ ἡ ὑπ' ἐκεῖνον συναγωγὴ οὕτως ἔχει καὶ ἀποστρέφεται· εὔδηλον γὰρ ἐντεῦθεν ὡς οὐδὲν ἐκεῖνος ἄλλο μετεχειρίζετο, οἷος ἐκεῖνος ποικίλως τοῦ φαινομένου τι πλέον ὑπονοεῖν τε καὶ διαπράττεσθαι, οὐχὶ μεμπτέα ποιῶν, ἀλλ' οἰκονομίας λόγοις κατὰ τοὺς σοφωτέρους τῶν ἰατρῶν, οἵ τὰς μελλούσας νόσους ἐντέχνως προανακόπτοντες προφυλακτήριά τινα φάρμακα τοῖς εὐϋπολήπτοις δέξασθαί τι τῶν προσδοκησίμων παθῶν πολλάκις ἐπιδιδόασιν, ἀλλ' ἢ τὸ καὶ αὐτοὺς τούτους τοὺς Ἰταλοὺς μὴ ἐπ' ἀδείας κεκτῆσθαι παραχαράττειν κατά τι τὸ ἀληθὲς εὖ εἰδότας ὡς εἰς τοῦτο ἐνέχονται, τὸ μηδὲν ἀπᾷδον τῇ γνώμῃ Γραικῶν καὶ τῶν αὐτῶν προστατῶν πνευματικῶς περὶ τὰ θεῖά ποτε καὶ πρὸς τὸ σέβας αὐτὸ ἀνατρέχοντα διαπράττεσθαι. Εἰ δ' οὖν καί τι τοιοῦτον τολμήσαιεν ὑπὸ τὸ ἀνάθεμα εἶναι ὡς αὐτοὶ προφθάσαντες ἐβεβαίωσαν.

Ἡ Σύνοδος. Πάλαι μὲν οὕτω δόξαν τοῖς εὐσεβέσιν ἡ τοῦ Πάπα Λέοντος Ῥώμηθεν σταλεῖσα γραφὴ στήλη ὀρθοδοξίας ὠνόμασται καὶ εἰσέτι καὶ νῦν ὀνομάζεται, νυνὶ δὲ οἱ σοὶ θειότατοι λόγοι, ὦ πατριαρχῶν ἁγιώτατε, στήλη μὲν ὀρθοδοξίας παρ' ἡμῶν οὐκ ἂν ὀνομασθεῖεν· μικρὸν γὰρ τοῦτο ἡγούμεθα, αὐτὴ δὲ αὔτη ὀρθοδοξία ζῶσα καὶ ἔμψυχος, κἂν ἄλλως περὶ τοὺς λόγους οὐ θεωρεῖται τὸ ἔμψυχον, καὶ χάρις Θεῷ, χάρις δὲ καὶ τῷ αὐτοῦ γνησίῳ θεράποντι βασιλεῖ, ὃν εὗρε κατὰ τὴν καρδίαν αὐτοῦ, ὃν ὡς δοξάζοντα τοῦτον, ὡς Θεὸς ἐκεῖνον ἀντιδεδόξακε καὶ εἰσέτι δοξάσει περιφανέστερον, ὅτι τά τε τὰ ἄλλα πρὸς τὸ αὐ-

Institutional Repository - Library & Information Centre - University of Thessaly
13/05/2024 00:06:14 EEST - 18.221.83.60

τοῦ ἀπευθύνεται θέλημα καὶ τὸν λύχνον ἀξίως τῆς λυχνίας μέσον ἐναπέθετο τῆς ἐκκλησίας λέγομέν σε ὑφ' ὧν ὡς ὁδηγῷ πρὸς τὴν ἀλήθειαν ποδηγούμενος καὶ τοὺς ἐχθροὺς αὐτῆς καταμανθάνειν ἀριδηλότατα μέγιστα κατὰ τούτων ἀγωνιεῖται καὶ οὐχ ἧττω τῶν κατὰ βαρβάρων κατορθωμάτων τὰ κατὰ τούτων στήσεται τρόπαια τῷ παμβασιλεῖ καὶ στεφοδότῃ Θεῷ ἀεὶ πρὸς τὰ βελτίω διεξαγόμενος καὶ εἰρηναίαν γαλήνην τοῖς ὑπηκόοις βραβεύειν ἐν μακραῖς ἡλίου περιφοραῖς, αἳ μετρήσαιεν τὸ κράτος αὐτῷ πολυχρόνιον [1].

Μέχρι τούτου ὁ παρὼν διάλογος ἐκπεπλήρωται, μετὰ δὲ ταῦτα, κατὰ τὴν ἀρχαίαν συνήθειαν, ἀναστάντων ἁπάντων εὐφημία τῶν βασιλέων καὶ τοῦ Πατριάρχου γεγένηται.

Κ. ΔΥΟΒΟΥΝΙΩΤΗΣ

---

[1] Τὰ κατωτέρω ἐλλείπουσιν ἔν τισι κώδιξι.

Institutional Repository - Library & Information Centre - University of Thessaly
13/05/2024 00:06:14 EEST - 18.221.83.60